## LOS TRABAJOS DE HERACLES: 2º LA HIDRA DE LERNA

### HERACLES PIDE AYUDA A YOLAO, POR ELLO EURISTEO NO LE RECONOCE ESTE TRABAJO

*Τῷ ῥοπάλῳ δὲ τὰς κεφαλὰς κόπτων οὐδὲν ἀνύειν ἠδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς δύο ἀνεφύοντο. ἐπεβοήθει δὲ καρκίνος τῇ ὕδρᾳ ὑπερμεγέθης, δάκνων τὸν πόδα. διὸ τοῦτον ἀποκτείνας ἐπεκαλέσατο καὶ αὐτὸς βοηθὸν τὸν **Ἰόλαον**, ὃς μέρος τι **καταπρήσας** τῆς ἐγγὺς ὕλης τοῖς δαλοῖς ἐπικαίων τὰς ἀνατολὰς τῶν κεφαλῶν ἐκώλυεν ἀνιέναι. καὶ τοῦτον τὸν τρόπον τῶν ἀναφυομένων κεφαλῶν περιγενόμενος, τὴν ἀθάνατον ἀποκόψας κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν, παρὰ τὴν ὁδὸν τὴν φέρουσαν διὰ **Λέρνης** εἰς **Ἐλαιοῦντα**· τὸ δὲ σῶμα τῆς ὕδρας ἀνασχίσας τῇ χολῇ τοὺς οἰστοὺς ἔβαψεν. **Εὐρυσθεὺς** δὲ ἔφη μὴ δεῖν καταριθμῆσαι τοῦτον ἐν τοῖς δέκα τὸν ἆθλον· οὐ γὰρ μόνος ἀλλὰ καὶ μετὰ Ἰολάου τῆς ὕδρας περιεγένετο.*

| | | |
|---|---|---|
| *Ἰολάος, -ου* | *(ὁ)* | *Yolao* |
| *καταπρήθω* | | *incendiar por completo* |
| *Λέρνη, -ης* | *(ἡ)* | *Lerna, ciudad de la Argólida con un pantano y un río del mismo nombre* |
| *Ἐλαιοῦς, -οῦντος* | *(ὁ)* | *Eleunte, ciudad del Quersoneso de Tracia* |
| *Εὐρυσθεὺς, -έως* | *(ὁ)* | *Euristeo* |